γοργῶπες ἐνέρων ἱερίαι, δειναὶ θεαί.
ΗΛ. οὔτοι μεθήσω· χεῖρα δ᾽ ἐμπλέξασ᾽ ἐμὴν
σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.
ΟΡ. μέθες· μί᾽ οὖσα τῶν ἐμῶν Ἐρινύων
μέσον μ᾽ ὀχμάζεις, ὡς βάλῃς εἰς Τάρταρον.
ΗΛ. οἲ ᾽γὼ τάλαινα, τίν᾽ ἐπικουρίαν λάβω,
ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
ΟΡ. δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου,
οἷς μ᾽ εἶπ᾽ Ἀπόλλων ἐξαμύνασθαι θεάς,
εἴ μ᾽ ἐκφοβοῖεν μανιάσιν λυσσήμασιν.
βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί,
εἰ μὴ ᾽ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
οὐκ εἰσακούετ᾽; οὐχ ὁρᾶθ᾽ ἑκηβόλων
τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
ἆ ἆ·
τί δῆτα μέλλετ᾽; ἐξακρίζετ᾽ αἰθέρα
πτεροῖς· τὰ Φοίβου δ᾽ αἰτιᾶσθε θέσφατα.
ἔα·
τί χρῆμ᾽ ἀλύω, πνεῦμ᾽ ἀνεὶς ἐκ πνευμόνων;
ποῖ ποῖ ποθ᾽ ἡλάμεσθα δεμνίων ἄπο;
ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν᾽ ὁρῶ.
σύγγονε, τί κλαίεις κρᾶτα θεῖσ᾽ εἴσω πέπλων;
αἰσχύνομαί σε μεταδιδοὺς πόνων ἐμῶν
ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
σὺ μὲν γὰρ ἐπένευσας τάδ᾽, εἴργασται δ᾽ ἐμοὶ
μητρῷον αἷμα· Λοξίᾳ δὲ μέμφομαι,
ὅστις μ᾽ ἐπάρας ἔργον ἀνοσιώτατον
— — — — — — — — —
τοῖς μὲν λόγοις ηὔφρανε, τοῖς δ᾽ ἔργοισιν οὔ.
οἶμαι δὲ πατέρα τὸν ἐμόν, εἰ κατ᾽ ὄμματα
ἐξιστόρουν νιν, μητέρ᾽ εἰ κτεῖναί με χρή,
πολλὰς γενείου τοῦδ᾽ ἂν ἐκτεῖναι λιτὰς
μήποτε τεκούσης εἰς σφαγὰς ὦσαι ξίφος,

261. ἱέριαι c et schol. ἱέρειαι ceteri. 264. ἐριννύων BF 269. ἐπαμύνεσθαι A 271. ΗΛ. libri. 280. κλάεις EF 291. μήπω Ac